ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις
οὐδενὸς οἰμώξας οὐ νόσον, οὐ θάνατον,
οἵ με κατασπείσαντες ἀπήμονα τὸν γλυκὺν ὕπνον
κοιμᾶσθαι χώρην πέμψαν ἐπ' εὐσεβέων.

## II

ἰχθῦς ἀγκίστρῳ τις ἀπ' ἠόνος εὔτριχι βάλλων
εἵλκυσε ναυηγοῦ κρᾶτα λιποτριχέα,
οἰκτείρας δὲ νέκυν τὸν ἀσώματον ἐξ ἀσιδήρου
χειρὸς ἐπισκάπτων λιτὸν ἔχωσε τάφον,
εὗρε δὲ κευθόμενον χρυσοῦ κτέαρ. ἦ ῥα δικαίοις
ἀνδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

# CHAEREMON

## I

Εὔβουλον τέκνωσεν Ἀθηναγόρης περὶ πάντων
ἥσσονα μὲν μοίρᾳ κρείσσονα δ' εὐλογίᾳ.

## II

Κλεύας οὑτυμοκλεῖος ὑπὲρ Θυρεᾶν δόρυ τείνας
κάτθανες ἀμφίλογον γᾶν ἀποτεμνόμενος.